ΚΛ. οὔτοι κυρήσεις μεῖον ἀξίως σέθεν,
οὐδ' ἧσσον ἂν γένοιο δώμασιν φίλος.
ἄλλος δ' ὁμοίως ἦλθεν ἂν τάδ' ἀγγελῶν.
ἀλλ' ἔσθ' ὁ καιρὸς ἡμερεύοντας ξένους
μακρᾶς κελεύθου τυγχάνειν τὰ πρόσφορα.
ἄγ' αὐτὸν εἰς ἀνδρῶνας εὐξένους δόμων,
ὀπισθόπους δὲ τούσδε καὶ ξυνεμπόρους·
κἀκεῖ κυρούντων σώμασιν τὰ πρόσφορα.
αἰνῶ δὲ πράσσειν ὡς ὑπευθύνῳ τάδε.
ἡμεῖς δὲ ταῦτα τοῖς κρατοῦσι δωμάτων
κοινώσομέν τε κοὐ σπανίζοντες φίλων
βουλευσόμεσθα τῆσδε συμφορᾶς πέρι.
ΧΟ. εἶεν, φίλιαι δμωίδες οἴκων,
πότε δὴ στομάτων
δείξομεν ἰσχὺν ἐπ' Ὀρέστῃ;
ὦ πότνια χθὼν καὶ πότνι' ἀκτὴ
χώματος, ἣ νῦν ἐπὶ ναυάρχῳ
σώματι κεῖσαι τῷ βασιλείῳ,
νῦν ἐπάκουσον, νῦν ἐπάρηξον·
νῦν γὰρ ἀκμάζει Πειθὼ δολίαν
ξυγκαταβῆναι, χθόνιον δ' Ἑρμῆν
καὶ τὸν νύχιον τοῖσδ' ἐφοδεῦσαι
ξιφοδηλήτοισιν ἀγῶσιν.

688. τῶν σοι ἀξίων τιμῶν. 690. εἰ καὶ μὴ σὺ ἤγγειλας. 691. δι' ἡμέρας καμόντας. 696. συμβουλεύω σοι ταῦτα πράσσειν, ὡς δώσοντι δίκην, ἤν τι παρὰ τὸ δέον ποιήσῃς. ὑποδίκῳ. 701. πότε ἐπευξόμεθα. 703. ὦ προσφιλὴς καὶ τιμία ἡμῖν. ἡ ἀκτὴ τοῦ τάφου. 707. νῦν καιρὸν ἔχει ἡ δολία πειθὼ συναγωνίσασθαι τῷ Ὀρέστῃ. 708. ξυγκαταβῆναι: συνάρασθαι πρὸς τὴν ὁδόν. 709. ἀπὸ κοινοῦ τὸ νῦν ἀκμάζει.

---

688. paragrapho notat M. *ἀξίας* Dindorfius, *ἀξίων* Pauwius. 693—95. in textu omissos in margine supplevit librarius M. 694. *ὀπισθόπουν τε τοῦδε (τόνδε) καὶ ξυνέμπορον* Hermannus. 695. *σώμασιν* H. Vossius: *δώμασι* M. 696. *ὑπευθύνῳ* Turnebus: *ἐπευθύνωι* M. 697. paragrapho notatus in M. 698. *κοινώσομεν* b: *κοινώσωμεν* M. 699. *βουλευσόμεσθα* Canterus: *βουλευόμεθα* M. 700. 711. paragraphi praefixae in M. 700. *φίλιαι* Heathius: *φιλίαι* M. *δμωΐδες* b: *δμωΐίδεσ* M. 707. *δολίαν* Pauwius: *δολία* M. 708. *Ἑρμῆν* Turnebus: *ἑρμῆα* M.